των στηλιτεύει, πάλιν δὲ τὸν Δαυϊτικὸν χρησμὸν, ἄ-
φυκτον ἔλεγχον ἀνατείνει, καὶ δι' ἐκείνου τοὺς μὲν
καταισχύνει, ἑαυτῷ δὲ τοὺς ὕμνους ἐπιβάλλειν διδάσκει.
Καὶ ~~καὶ~~ ποῦ τοῦτο καλόν; ποῦ δὲ ἀκόλουθον; δίκαιον δὲ πῶς ἂν
εἴη; τὸν παραγεγονότα καταλῦσαι τὸ τοῦ διαβόλου κράτος
δι' ἐκείνου τὸ τῆς δόξης πρέπον, καὶ τὴν σύστασιν ἑαυτῷ
πορίζειν; τοῦτο γὰρ τῆς ἀποστατικῆς σπορᾶς ὁ καρπὸς,
καὶ ἅμα μὲν ἐπιδημήσαι πάσης πίστεως ἄπορον τὸν ἐλ-
ποιεῖν, ἅμα δὲ τὰς μεγίστας αὐτῷ προξενεῖν, καὶ λανθά-
νειν ἑαυτὸν ἀντισυνιστῶντα καὶ κρατύνοντα, οὗ τὸ κράτος
ἧκεν ἀφελεῖν. Ὅστις γὰρ ἄντικρυς διὰ τῶν τοῦ ψεύδους ἐγ-
μάτων τὴν ἀλήθειαν σπουδάζει δεῖξαι παροῦσαν ἑαυτῷ
καὶ τὸ ὁρισθὲν προελθεῖν, οὗτος, ὃν τὸ ψεῦδος ἔχειν ἀρ-
χηγὸν ἀληθείας δεικνὺς χορηγὸν τῆς ἐνούσης αἰτίας
ἀπολύει, ~~καὶ~~ οὐδὲν μᾶλλον, ἀλλ' ἵλεως εἴη θεὸς, ἀνεύ-
θυνον ἐπιδείκνυσιν ἑαυτὸν τῶν αἰτιαμάτων τῶν ἰουδαϊκῶν
ἢ τῶν, δι' οὗ ταῦτα ἀποσκευάζεται, τῆς τοῦ ψεύδους,
οὗ χορηγός ἐστιν, ἐνοχῆς. Ἆρα οὐκ εἰς καλὸν ὑμῖν ὁ
τῆς ἀποστασίας ἔρως τελευτᾷ; ἀληθείας μὲν κηρύτ-
των τὸν πατέρα τοῦ ψεύδους δημιουργὸν, ἐξ αὐτοῦ δὲ
κατασκευάζειν τὴν ἐνυπόστατον ἀλήθειαν δανείζεσθαι τὸ
ἀληθὲς, καὶ οἷς δανείζεται, ἵνα μὴ λέγω μείζοσι, ταῖς
ἴσαις ὀφείλειν ἀντιδεξιοῦσθαι τιμαῖς; Φέρε δὴ καὶ διὰ
τῶν παραβολῶν, οὐκ ἐκ παραβολῆς, ἀλλ' ἐμφανῶς
ἴδωμεν τὸ δόγμα καταλυόμενον τῶν ἀσεβῶν. Ὅτι μὲν
γὰρ παραγέγονεν ὁ σωτὴρ ζητῆσαι καὶ σῶσαι τὸ ἀπο-
λωλὸς, οὐδενὶ μέχρι νῦν εἰς δισταγμὸν περιέστηκεν.
Εἰ δὲ τὸ, ὡς ἀληθῶς ἀπολωλὸς, πρόβατον τῆς ἀπω-

λείας

http://digital.slub-dresden.de/ppn345414306/345